# ΠΕΡΙ`
# ΔΙΔΑΣΚΑΛΕΙ´ΩΝ.

Τῶν ἐπ᾿ ὠφελείᾳ τοῦ κοινοῦ ἱδρυμάτων οὐδείς ἐστὶν ὁ ἀμφιβάλλων ὅτι τὰ ἀξιολογώτερα, τὰ κοινωφελέστερα πάντων, μᾶλλον δ᾿ εἰπεῖν τὰ ἀναγκαιότερα καὶ ἑπομένως, οἷς πρώτως προσήκει τὰ φιλάνθρωπα τῶν ἡγεμόνων καὶ ἁπλῶς τῶν προὐχόντων ὄμματα τρέπεσθαι, τυγχάνουσιν ἐκεῖνα ἅπερ ἐπὶ τῇ τῶν νέων παιδείᾳ ἀφώρισται. Παιδείαν δὲ λέγοντες, ἐνὶ λόγῳ καὶ συνεπτυγμένως τὸ ἀξιόλογον αὐτῶν ὅλον καὶ τἀναγκαῖον ἐκφράζομεν. Καὶ γὰρ ἐν αὐτοῖς ὁ ἄνθρωπος τὸ ὑπέρτερον τῶν ζώων καὶ τιμιώτερον, καὶ ᾧ πάντα τὰ ἄλλα ὑπείκει καὶ δουλεύει ὡς ἀνωτέρῳ καὶ κρείττονι, ἐν αὐτοῖς φαμὲν πλαττόμενος, δημιουργούμενος, μορφούμενος, ἀναντιῤῥήτως ἑαυτοῦ κρείττων καὶ τιμιώτερος ἀποκαθίσταται. Εἰ γὰρ καὶ φύσει τῆς βελτιώσεως ταύτης ἐνσπαρείσας ἑαυτῷ ὑπὸ τοῦ δημιουργοῦ ἔχει τὰς πρώτας ἀρχὰς καὶ τὰ πρῶτα σπέρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ματα, ἀλλὰ τὰ πρῶτα ταῦτα ϗ πολύτιμα σπέρματα, ἡ ἀξιολογωτάτη αὕτη δύναμις τῆς καθηκέσης ἀρόσεως, θεραπείας, ϗ κηδεμονίας μὴ τυγχάνεσα, ἐ πάνυτι λυσιτελήσει τῷ ταύτης εὐπορήσαντι. Ἐπίβελοι γὰρ καὶ κακοήθεις ἕξεις ὥσπερ ἄγρια φυτὰ ἀναδοθεῖσαι κατακρατήσεσι, ϗ ὁ ἄνθρωπος ἐλεεινόν τι θέαμα ϗ παίγνιον τῶν κατακρατέντων ϗ τυραννέντων παθῶν ἀποβήσεται, ϗ πλάσμα ἔτως ἀνάξιον ϗ ἀντίπορον τε πλάσαντος.

Διὰ ταῦτα δὴ χρέος ἱερὸν τῷ ἀνθρώπῳ πρὸς τὸν αὐτε δημιεργὸν ϗ πλάςην, τὸ μὴ περιφρονῆσαι ϗ ὑπεριδεῖν ταυτησὶ τῆς ἐμφύτε οἱ πρὸς παιδείαν δυνάμεως. Δι' αὐτῆς γὰρ ὑπὲρ τὲς λοιπὲς ὁ ταύτης ἐρας ὴς γίνεται, ϗ βαθύνων διὰ τῆς ὑπὸ ταύτης χορηγηθείσης αὐτῷ ὀξυνοίας τὴν γνῶσιν ἑαυτε ϗ τῶν ἐπ' ὠφελείᾳ αὐτε ὑπὸ τε Θεε δημιεργηθέντων, ϗ ἐπαιρόμενος ἔτως ὥσπερ πτέρυξι ταῖς τῶν ὄντων ϗ ἑαυτε γνώσεσιν, ὑπερπηδᾷ τὲς κοινὲς ὅρες, ὑπερβαίνει τὸν κοινὸν ὁρίζοντα ϗ ὑπὲρ τῆς τῶν πολλῶν σφαίρας ἱπτάμενος, ὑψεται πρὸς τὰ ὑπὲρ αἴσθησιν ϗ ἐγγὺς τε Θεε παραγίνεται. Ὅσοι δὲ, οἱονεὶ ἀντάρται ϗ ἀποςάται ὄντες τοῖς θείοις βελήμασιν, ἐθελοκακέντες περιφρονεσι ϗ ἐγκαταλείπεσιν ἀτημέλητα τὰ ἱερὰ ταῦτα σπέρματα, ἔσονται οἱ τοιετοι ἐ ζῶντες ἐν κόσμῳ, ἀλλ' ἐν ἀγνοίᾳ θαλάσσης σπαίροντες, καὶ ἔχεσιν ἔτω τὲς καρπὲς τῆς ἐθελοκάκε αὐτῶν νωθρότητος, τὴν αἰσχίςην πασῶν γύμνωσιν γεγυμνωμένοι τὴν ἄγνοιαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε. Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Τὸ τῶν ἀναγκαίων ϗ ἱερῶν τέτων ἱδρυμάτων ὑποκείμενον ἡ περὶ τὴν γλῶσσαν σπεδὴ ἀναντιῤῥήτως τυγχάνει τὸ πρῶτον. Διὰ γὰρ ταύτης ἑτέροις τῶν γνώσεων ἡμῶν μεταδίδομεν, ϗ ἕτεροι ἡμῖν τῶν σφετέρων. Δι' αὐτῆς ταύτας πολλαπλασιάζομεν, ἢ μᾶλλον, αὐτὴ τοῖς ἀνθρώποις ἡ πηγὴ τυγχάνει τῶν γνώσεων. Αἱ ἰδέαι ἡμῶν εἰσιν ἀεὶ πλείες ἢ ὥςε ἐκφρασθῆναι ταῖς λέξεσι, συγκεχυμέναι δὲ ϗ ἐδὲ ἰδέαι τῷ ὄντι, εἰμὴ ἀναλυθεῖεν ϗ ἀναπτυχθεῖεν διὰ τῶν λέξεων· ϗ ἐσμὲν ἐν ἰδέαις πλεσιώτεροι ἢ ἐν λέξεσιν, ἐν ζόφῳ δὲ ϗ σκότει ὁ πλᾶτος, ϗ ἐδὲ πλᾶτος ἐπομένως, εἰμὴ ἔκδηλος ἀποδοθείη ϗ λαμπρυνθείη ὑπὸ τῶν λέξεων. Ἡ περὶ τὴν γλῶσσαν τοίνυν σπεδὴ τὰ τῶν ἰδεῶν ἀναπτύσσεσα ϗ ῥυθμίζεσα ϗ κρατύνεσα σύμβολα, τὸν ἐνόντα τῶν γνώσεων πλᾶτον ἐμφανῆ ἀποκαθίςησι, ϗ ἐκφραζόμεθα ἅτως ὁμοιότερον, κανονικώτερον ϗ εὐχερέςερον, ϗ καταληπτοὶ ἑταίροις γινόμεθα εὐμαρέςερον. Περιγενέσθαι δὴ ἡμῖν τᾶτο ἄλλως ἐκ ἔςι, μὴ ἐνασχοληθεῖσιν ἱκανῶς τῇ θεωρίᾳ τῶν λέξεων καὶ τῶν ταύταις πρὸς ἀλλήλας σχέσεων.

Ἔςι δὲ πᾶσι δῆλον ὅτι ἐν πάσῃ μελέτῃ ϗ μαθήσει ἀναλυτικῶς δεῖ προβαίνειν, ὅ ἐςιν, ὡς δεῖ προβαίνειν, τᾶτ' ἔςιν ἀπὸ τῶν γνωςῶν ἀρχομένες χωρεῖν ἅτως ἐπὶ τὰ ἄγνωςα. Ταύτης δὲ τῆς ἀρχῆς, τέτε τᾶ ἀξιώματος ἐχ ἧττον ἀψαμένες δεῖ χωρεῖν ἐπὶ τὴν περὶ τὴν γλῶσσαν σπεδὴν, ἢ ἐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ. Δ/της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πὶ τὴν περὶ τὰς λοιπὰς ἐπιςήμας, μᾶλλον δὲ, ϗ μᾶλλον ἔχεσθαι τȣτȣ μετὰ πάσης ὑπερακριβείας τῆς πρώτης ἀρχομένȣς μαθήσεως. Τῆς γὰρ γλώσσης ἀρχὴ πάσης μαθήσεως ὄσης, τὶς ȣ̓κ οἶδεν ὅτι ἅπαξ ἀρξάμενοι κακῶς, χεῖρον ἐπὶ τὰ ἑξῆς βαδιȣ̃μεν, ϗ τὶς ἀμφιβάλλει ὅτι ἡ κακὴ μέθοδος ȣ̓κ ὀλίγον εἰς τὴν τȣ̃ τῶν ἀρχομένων νοὸς συντρέχει ἀπάμβλυνσιν, ϗ τὶς χείρων μέθοδος ἐκείνης ἥπερ ἐν τοῖς ἡμετέροις σχολείοις ἄχρι τȣ̃ νῦν ἡ γλῶσσα διδάσκεται. Καὶ ταῦτα λέγοντες ȣ̓δ' ἡμεῖς ἀμφιβάλλομεν ὅτι πολλοῖς προσκρȣ́σομεν ὡς τῆς πεπατημένης παρεκτρεπόμενοι· παραιτȣ́μεθα δὲ συγγνώμης τυγχάνειν, ȣ̓ γὰρ ἂν ȣ̓́τως ἔφαμεν, εἰμὴ ἐδεδίημεν τῆς ἀληθȣ̃ς ἐκτραπέσθαι.

Αὐτίκα τοίνυν ἐν τοῖς ἡμετέροις σχολείοις ὁρισμοῖς ϗ κανόσι ϗ κλίσεσι ϗ συζυγίαις οἱ νέοι καταφορτίζονται, ϗ τȣ́τοις ἐν οἷς τὸ συνιέναι αὐτοῖς ἀδύνατον, ϗ ἑπομένως, τὸ ἄρχεσθαι ἄτοπον· καὶ ȣ̓́τως ȣ̓δὲν ἄλλο ποιȣ̃σιν ἢ εἰς πέλαγος κενῆς δοκισισοφίας εἰσδύονται καὶ κατακλύζονται. Πρὶν ἢ μαθεῖν τινα ἐν οἷς συνίησι, τὰ καθ' ἕκαςα, ἐθέλειν ἐπιδράττεσθαι τῶν καθόλȣ, ϗ τȣ́τοις ἐνδιατρίβειν μάτην ἄντικρυς χρονοτριβȣ̃ντα, πάντως ȣ̓κ ἔςι τȣ̃το ἡ ἀπὸ τῶν γνωςῶν ἐπὶ τὰ ἄγνωςα ἔφοδος. Ἐπισκεψάσθω τις τὰ λεγόμενα, ϗ ὄψεται δήπȣ ὅτι οἱ διδάσκοντες τȣ̀ς νέȣς ȣ̓δὲν ἄλλο ποιȣ̃σιν, ἢ προβαίνȣσιν ἀπὸ τῶν ἀγνώςων ἐπὶ τὰ ἄγνωςα, ποιȣ̃ντες ȣ̓́τω πρόοδον μηδεμίαν. Διὰ ταύτην

ὗν τὴν αἰτίαν ἐν γραμματικῇ τῶν μαθητευομένων οἱ πλεῖςοι καταγηράσκουσι· ὅσῳ γὰρ μᾶλλον φαύλη ἐςὶν ἡ μέθοδος δι᾽ ἧς, τοσούτῳ μᾶλλον περιπλανᾶται ὁ ταύτῃ χρώμενος.

Ἀλλὰ σὺν ποίᾳ μεθόδῳ βαδιςέον περί τι σπουδάζοντας, φαίη τις ἄν. Εἴρηται μικρῷ πρότερον, ἀλλ᾽ εἴδη καὶ νῦν εἰρήσεται. Μέθοδος ἀρίςη καὶ μόνη μέθοδος, δι᾽ ἧς ἀπὸ τῶν γνωρίμων ἐπὶ τὰ μὴ γνώριμα προβαίνομεν. Ταύτῃ χρωμένους τοὺς διδασκάλους συγκαταβαίνειν δεῖ τοῖς ἀρχαρίοις καὶ γίνεσθαι τρόπον τινὰ καὶ αὐτοὺς ἀρχαρίους. Ἔπειτα ἀρχαῖς χρώμενοι ταῖς τῶν ἀρχαρίων γνώσεσι, βαδιοῦσι σὺν αὐτοῖς ἐπὶ τὴν τῶν λέξεων ἐν γένει κατάληψιν. Εἶτα κατὰ συμμορίας διανείμαντες καὶ διατάξαντες τὸ σύνολον τῶν λέξεων σύςημα, ἀκριβεῖς ἐννοίας τῶν ὀκτὼ μερῶν τοῦ λόγου, τῶν πτώσεων, τῶν κλίσεων, τῶν συζυγιῶν καὶ τῶν τῶν λέξεων πρὸς ἀλλήλας σχέσεων τοῖς ἀρχομένοις δώσουσι, καὶ ἐπὶ τούτῳ χρώμενοι οὐχ ὁρισμοῖς, οὐ κανόσιν, ἀλλὰ μεταφυσικῇ τινι ὁπλουςάτῃ. Ἐκπληττέσθω δὲ μηδεὶς μεταφυσικὴν ἀκούων ἐν αὐτοῖς τοῖς τῶν Μουσῶν τεμενῶν προαυλίοις. Ὁ γὰρ περικλεὴς Λεπὲ ὁ εὐεργέτης τοῦ ἀνθρωπίνου γένους, ἐκ μεταφυσικῆς τινὸς βαθυτάτης πρῶτος ἤρξατο τοὺς κωφοὺς καὶ ἐνεοὺς διδάσκειν γράμματα καὶ ἐν Εὐρώπῃ πρωτευούσας γλώσσας. Οἱ δὲ κωφοὶ καὶ ἐνεοὶ μικρόν τι τῶν ἀλόγων διενηνόχασι ζῴων ἀκοῆς ἐςερημένοι καὶ λόγου τοῦ τὰς ἰδέας καὶ ἐννοίας ἡμῶν ἀναπτύσσοντος καὶ πληθύνον-

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τος, καὶ βαδίζων ὕτως ἐπὶ τὸ σκοπύμενον ἦλθε, θαυμαζόντων τῶν ἀνὰ πᾶσαν τὴν Εὐρώπην σοφῶν. Ἔπειτα δὲ συλλαβόντων εἰς νῦν τῶν ἀρχαρίων τὸ τῶν λέξεων τέχνημα καὶ τῶν πρὸς ἀλλήλας σχέσεων, ἡ πρᾶξίς ἐςι τὸ κάλλισον αὐτοῖς γύμνασμα, ἡ ἀνάγνωσις λέγω τῶν ἀξιολογωτέρων συγγραφέων μετὰ τῆς προσηκύσης ἐπιςασίας ϗ ἀσκήσεως. Πᾶσα γὰρ ἐπιςήμη ϗ πᾶσα ἁπλῶς μάθησις ἕξις τις ἀναμφισβητήτως καθέςηκεν, ἡ δ᾽ ἕξις ὐ προσγίνεται ἄλλως, εἰμὴ διὰ συνηθείας ϗ ἀσκήσεως. Ἐν δὲ ταύτῃ τῇ γυμνασίᾳ ὐκ ἐπιλήσεται δήπυ ὁ τῶν νέων καθηγεμὼν, προχεῖν αὐτοῖς τὸν νῦν ποιῆσαι κοινότησί τισι τρόπον τινὰ λόγυ πάρεργον. Ἐν πάσαις γὰρ ϗ τῆς χυδαϊκαῖς ϗ σοφαῖς διαλέκτοις ὁρᾶν ἐςι τὰς τοιαύτας κοινότητας, καὶ ἴσμεν, καίτοι παρὰ μηδενὸς διδαχθέντες. Ὅσοι δὲ σὺν ἐπιμελείᾳ ϗ προσοχῇ ϗ σπυδῇ τὴν τοιαύτην ὁμιλίαν ποιήσονται, μάλιςα δὲ σὺν μεθόδῳ, ὐκ ἔςιν ὅπως ὐ δἰ ἑαυτῶν ϗ ὗτοι ποιήσονται ταύτην τὴν παρατήρησιν. Οὐ γὰρ ἐνταῦθα λόγος περὶ τῶν βλακῶν ϗ νωθρῶν ἐκείνων οἷς ϗ τὸ νοῆσαι ἐπίπονον, ϗ ἄχθος τὸ ἀνθρώπυς εἶναι κατὰ τὺς κατοικῦντας τῆς Ἀφρικῆς τὰ μεσημβρινώτατα.

Λέγειν δὲ περιττὸν οἰόμεθα ὅτι δεῖ τὸν τὸ ἱερὸν τυτὶ ἔργον ἀναδεχόμενον, τρίβωνά τινα εἶναι πάντων σχεδὸν τῶν ἀξιολογωτέρων αὐτῇ διδασκομένῃ γλώσσῃ συγγραμμάτων, μηδὲ περιωρισμένην αὐτῦ τὴν Φιλολογίαν εἶναι ἐν τοῖς ἀκαταλληλότατα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λεγομένοις ἐγκυκλοπαιδίας τόμοις, μηδὲ τοῖς κιβωτίοις ϗ δέλτοισιν ἐπερειδόμενον, ὃ δὴ πάντων ἄϊςισον, ἑρμηνεύειν ἄλλοις δι' ἄλλων μηχανικῶς τὰ μαθήματα, ἀλλ' ἐγκρατῆ ὅσον τὸ δυνατὸν ὄντα τῆς τῆς γλώσσης φιλολογίας ϗ ἱςορίας, ἥπερ ἐν τοῖς τῆς γλώσσης βιβλίοις σώζεται, εἰσάγειν κατ' ὀλίγον εἰς ταύτας τὲς νέες. Συγκεκροτημένος ἂν τέτοις, ὁ καθηγεμὼν ϗ τῇ λαμπάδι τῆς μεταφυσικῆς χρώμενος τῇ τῆς παιδείας ὁδῷ τὸ φῶς τῆς ἡμέρας παρέξεται.

Ἡ ἀνάγνωσις ἠθικῶν τινων βιβλίων ϗ ἱςορικῶν ταῖς τῶν νέων δυνάμεσιν ἀναλόγων, ἔσεται πάντως τὰ πρῶτα τοῖς νέοις μαθήματα. Καὶ πρέργε μὲν ἔξω τὸ τὰ ἤθη τῶν νέων διευθύνειν ϗ εἰς τὴν ἱςορίαν εἰσάγειν, τὸ δὲ τῆς γραμματικῆς τρόπον τινὰ λόγε πάρεργον, μᾶλλον δὲ, τὸ τε ἔργε παρεπόμενον ἔσεται. Ὅσοι γὰρ προσοχῇ ϗ σκέψει τὴν περὶ ταῦτα ποιῶνται σπεδὴν, τέτες πάντως ἐκεῖνα ἅπερ τοῖς ἄλλοις σπεδὴ, ἐ λήσεσι, ϗ γράφειν ἀρξάμενοι πρὸς τὰ ἀναγινωσκόμενα, ἔτι μᾶλλον καὶ τέτων ἐγκρατεῖς ἔσονται, ϗ συνιέναι ποτὲ ἱκανοὶ γεγονότες, ἕξεσι ϗ μόνοι τὰ τῶν γραμματικῶν ἀναγνῶναι ϗ γνῶναι συγγράμματα.

Ἀπαιτεῖσθαι τοίνυν ἐν πρώτοις τὲς νέες προσήκει ἀκριβῆ τινα ἰδέαν ϗ ἔννοιαν τῶν λέξεων, ϗ τῶν πρὸς ἀλλήλας διαφορῶν ϗ ςχέσεων. Αἱ λέξεις γὰρ ὡς σύμβολα τῶν ἰδεῶν ϗ τῶν ἐννοιῶν τῶν ἡμετέρων κοινόν τι ἔχεσι σύμπασαι· ἀλλὰ γὰρ ἄλλαις σὺν

ΕΡΓΑΣΤΗΡΙΟ ... ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἄλλαις ὁράσεσι νοὸς χρώμεθα, ταύτῃ τοι ϗ διαιροῦνται τὸ πρῶτον πολλαχῶς ϗ εἰς τοσαῦτα εἴδη ὅσαι ϗ αἱ ὁράσεις τοῦ χρωμένου ταύταις νοὸς τυγχάνουσι. Καὶ εἰσί τινα καθόλου γένη, κοινόταται φαμὲν ὀνομασίαι ὑφ' ἃς αἱ πρῶται διαιρέσεις ὑπάγονται. Ταῦτα δὲ πάλιν τὰ γένη διαφέρουσιν ἀλλήλων ϗ ταῦτα, ϗ ποικίλη τις ἡ διαφορὰ γίνεται, ϗ γὰρ αἱ τοῦ χρωμένου ταύταις νοὸς ὁράσεις τοιαῦται πεφύκασι.

Τῶν τοιούτων οὖν διαιρέσεων ϗ ὑποδιαιρέσεων, τῶν τοιούτων τοῦ χρωμένου νοὸς ὁράσεων, ἀνάγκη πᾶσα τὸν εἰς παιδείαν εἰσαγόμενον νέον πλήρη ὅσον τὸ δυνατὸν ϗ διακεκριμένην ἔχειν ἔννοιαν· ϗ αὕτη ἡ ἔννοια τοιαύτη οὖσα, οἷον λαμπτὴρ ἐπὶ τὰ ἐφεξῆς ἔσεται τὸ φῶς αὐτῷ ἐπὶ τῆς ὁδοῦ γενομένῳ παρέχουσα.

Ἀπαγγέλειν δὲ μηδὲν ἄλλο κατ' ἀρχὰς μανθανέτω ὁ νέος, ἢ τὰς κλίσεις ϗ συζυγίας, τοὺς παρεδειγματικοὺς φαμὲν τύπους τῶν ὀνομάτων ϗ τῶν ῥημάτων, οὐχὶ τὰς κοινῶς ἐννοουμένας κλίσεις ϗ συζυγίας, ἃς οὐ παύουσιν οἱ διδάσκαλοι ὅλους ἐνιαυτοὺς καταναγκάζειν τοὺς νέους λέγειν ἐκ ςόματος, ἐγκολάπτειν οὕτως αὐτοῖς τὰ μαθήματα ἀνεξαλείπτως οἰόμενοι. Ἀλλὰ μάτην· οὐ γὰρ ἡ σύνθεσις, ἀλλ' ἡ ἀνάλυσίς ἐςιν ἡ τοιαῦτα ποιοῦσα τὰ ἐγκολάμματα. Ἐπειδὰν οὖν τις σὺν μεθόδῳ τῆς μαθήσεως ἄρχηται, περιττὴ πάντῃ ἡ τοιαύτη γραμματικὴ βαττολογία, ἣ οὐ μικρὸν ἀπαμβλύνει τὸν νοῦν τῶν ἀρχομένων, ἀλλοιοῦσα ϗ διαφθείρουσα τὴν λογικὴν αὐτῶν δύναμιν.

Ἡ περὶ τὴν γλῶσσαν τοίνυν σπουδὴ μέρος τι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΜΕΑ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τῆς παιδείας τυγχάνει ἀναμφιβόλως ἀξιολογώτατον· ἀλλὰ γὰρ ταύτῃ μόνῃ τὴν παιδείαν ὁριζομένων ϗ περιγραφόντων, ἡ τοιαύτη τηνικαῦτα παιδεία, παιδεία τὶς ἐςὶ τῷ ὄντι ἐλλειπεςάτη. Εἰσακτέον ȣ̃ν τȣ̀ς νέȣς εἰς πᾶν εἶδος ἐπιςήμης· εἰδὲ μὴ, τȣ̃ καιρȣ̃, τȣ̃ τόπȣ τὴν τοιαύτην εἰσαγωγὴν μὴ ἐπιτρέποντος, ἀλλὰ τινῶν γε ὧν αἱ γνώσεις τυγχάνȣσι τῶν πασῶν ὥσπερ θεμέλιον, μὴ ἀμελητέον· εἰσὶ δὲ αὗται ἡ ἰδιαίτερον φιλοσοφία ἀκȣ́ȣσα ϗ τὰ μαθηματικὰ ϗ ἡ φυσική. Αἱ γὰρ ἐπιςῆμαι ϗ καθ᾽ ἑαυτὰς θεωρȣ́μεναι, δαιμόνιόν τί εἰσι τῷ ὄντι χρῆμα· δι᾽ αὐτῶν γὰρ ὁ ἄνθρωπος τελειοποιεῖ ἵν᾽ ȣ̃τως εἴπωμεν, τὸν ἄνθρωπον, ϗ τῇ θείᾳ φύσει προσάγει τὴν ἀνθρωπίνην ϗ ὁμοιοῖ τὴν δυνατὴν ὁμοίωσιν ϗ τὸ κατ᾽ εἰκόνα ἀνέλεγκτον ἀποκαθίςησιν. Ἐπειδὰν δέ τις εἰς νȣ̃ν βάλῃ καὶ ἀναπολήσῃ τὰ ὡς ἐκ πηγῆς ἀειῤῥόȣ τῶν ἐπιςημῶν, ὧν αἱ τρεῖς αἱ εἰρημέναι μικρῷ πρότερον οἱονεὶ βάσεις τυγχάνȣσι, τῷ βίῳ ἀναβλύȣσιν ἀγαθὰ, ὁμολογήσει πάντως ὅτι κοινωνία τις, ᾗ ἐπιςῆμαι ἥκιςα σύνοικοι, κυκεών τις τυγχάνει καὶ οἰκία θυρίδων ἄμοιρος, ϗ ἀνομοιομερῶν χάος ὁ κόσμος ἀναξαγόρειον.

Ἔςι γνωςὸν τοῖς πᾶσι ϗ τοῖς ἄκροις χείλεσι τὸ τȣ̃ λόγȣ γευσαμένοις παιδείας, ἡ ὑπεροχὴ ᾗ ὑπερέχει ἔθνος ἔθνȣς, ϗ πόλις πόλεως, ϗ κώμη κώμης διὰ τὰς ἐπιςήμας ϗ τὰς τέχνας αἵτινες ϗ αὗται ἀπὸ τῶν ἐπιςημῶν πηγάζȣσι ϗ δι᾽ αὐτῶν τελειοποιȣ̃νται δῆλον δὲ ϗ ὅτι ἐςὶν ἡ εὐτυχία ȣ̃τι-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νοσῦν ϗ ἡ δύναμις ἐν εὐθεῖ λόγῳ τῶν κατὰ τὰς ἐπιςήμας ἕξεων. Τὸ πλεῖςυ ἄρα λόγυ ἄξιον ἐν τοῖς Φροντιςηρίοις ὁ λόγος τῶν ἐπιςημῶν πρόδηλος, ἐκείνων γε, ὧν αἱ περιςάσεις ἐμποδὼν ἐ γίνονται πρὸς τὴν ἵδρυσιν. Ἔςι γὰρ ὁρᾷν ἐν τοῖς ἡμετέροις σχολείοις σὺν ἐκ ὀλίγῃ ἐκπλήξει ϗ λύπῃ ὅτι ἐκ πάντων σχεδὸν τὰ μαθηματικὰ θεία τις ἐπιςήμη τῷ ὄντι ὄντα (αἰώνιον γὰρ γεωμέτρην ὁ Πλάτων τὸν Θεὸν ὠνόμαζεν), ἀποκέκλεισαι ? τὰ μαθηματικὰ τὰ μεγάλως τὸν ἀνθρώπινον νῦν ἐξασκῦντα ϗ θήγοντα, (μηδεὶς ἀγεωμέτρητος εἰσίτω εἰς τὴν ἀκαδημίαν ὁ αὐτὸς ἔλεγεν), ϗ ἄλλως τῷ ἀνθρωπίνῳ βίῳ λυσιτελέςατα. Ἐνςῆναι δέ τις ἐκ ἔχει τόπυς ϗ περιςάσεις ἐπισκηπτόμενος· ἐδ' ὅ,τιῦν γὰρ ἐμποδὼν γενήσεται θέλυσι, ϗ σχολὴ ὅπυ ἐδεμία ἕδρα τῇ γεωμετρίᾳ ἀφώρισαι, ἐδὲ σχολὴν καλὸν ὀνομάζειν, ἀλλὰ δοκισισοφίας γυμνάσιον. Οὕτω γὰρ εἰκὸς γραμματικὴν ἀκύειν ταῖς ὄντως μαθήσεσι πᾶσαν εἴσοδον ἀποκλείυσαν.

Ταῦθ' ἡμῖν ἅλις εἰρήσθω περὶ τῶν κοινῇ παιδευτηρίων, ἃ καὶ τοῖς ἰδίοις εἴησαν ἐκ ἀπρόσφορα εἰρημένα. Ἐπιτετμημένως δὲ εἴρηται· ἐ γὰρ ἡμῖν σκοπὸς ἀγωγὴν παίδων ϗ παιδείαν ὁλοσχερῶς πραγματεύσασθαι, ἀλλὰ συναιρῦντας εἰπεῖν ὅπως προσήκει τὺς παῖδας μανθάνειν ἄρχεσθαι, καὶ εἰ τῦ σκοπῦ μὴ δόξαιμέν τισιν ἀψάμενοι ὡς τὴν πεπατημένην καταλιμπάνοντες, ἀλλ' ἡμεῖς τὸ παριςάμενον ϗ δοκῦν παρεςήσαμεν. Λοιπὸν δὲ εἰπεῖν ὀλίγ'

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ Κ. ΘΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἄττα περὶ τῆς ἐν ταῖς σχολαῖς παντῦ σχεδὸν ἐπικρατῦσις καταχρήσεως.

Ἔςι δὲ τῶν ἀτοπωτάτων καταχρήσεις ὁρᾷν ἐν τοῖς ἱεροῖς αὐτοῖς ἱδρύμασι τοῖς πρὸς τὴν τῶν ἐν γένει καταχρήσεων ἐπανόρθωσιν ἀφορῶσι ϰ̀ τείνῦσι. Δεῖ ὖν τὺς τὴν ἱερὰν αὐτὴν ἐπιτετραμμένυς ὑπηρεσίαν πρὸ ὀφθαλμῶν διὰ παντὸς ἔχειν ὥσπερ ἀρχὴν ϰ̀ ἀξίωμα, ϰ̀ τὺτυ μεμνημένυς ϰ̀ ἐχομένυς τὴν τῶν τοιύτων ἱδρυμάτων ἐφορίαν ποιεῖσθαι, ὅτι πρόθεσις ϰ̀ τέλος τῶν τοιύτων ἱδρυμάτων μόνη ἡ παιδεία τῶν νέων ϰ̀ ἡ βελτίωσις, ϰ̀ ἐφορῶντας, πτωχείας ἢ φιλίας ἢ συγγενείας μεμνῆσθαι, βαδίζειν ἐςὶ πόῤῥω τῦ σκοπῦ τῆς ἱδρύσεως, ὖ τί ποτ' ἂν γένοιτ' ἀλογώτερον ϰ̀ παρανομώτερον. Τῦτ' εἰρηκόσι τὸ πᾶν ἡμῖν εἴρηται συνεπτυγμένως, ϰ̀ περιττὸν προστιθέναι ὅτι μόνοι οἱ εὐφυεῖς ϰ̀ φιλόπονοι ϰ̀ τῦ τέλυς ἐλπίδας παρέχοντες, ἕξυσιν εἴτις χορηγία βοηθείας ἢ ἀμοιβῆς λόγῳ εἴη τοῖς μαθητευομένοις· καὶ εἶναι δεῖ ὅπυ ὐδὲν ἐμποδὼν τύτῳ γίνεται.

## ΤΕ΄ΛΟΣ.

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ Τὸ Πρόβλημα ὁπȣ̃ λύει ὁ Συγγραφεὺς εἰς τὰ 197 φύλλα εἶναι τὸ αὐτὸ μὲ τὸ ΜΕ΄. τȣ̃ Διοφάντȣ ἐκτὸς τῆς ἐκφράσεως. Ἰδὲ τὸ τȣ̃ Διοφάντȣ. "

## Πρόβλημα. ΜΕ΄.

Ἡμίονος ϗ ὄνος φορέȣσαι οἶνον ἔβαινον.
Αὐτὰρ ὄνος ϛενάχιζεν ἐπ' ἄχθεϊ φόρτȣ ἑοῖο,
Τὴν δὲ βαρυϛενάχȣσαν ἰδȣ̃σ' ἐρέεινεν ἐκείνη.
Μῆτερ, τὶ κλέȣσ' ὀλοφύρεαι ἠΰτε κȣ́ρη;
Εἰ μέτρον ἐμοὶ δοίης, διπλάσιον σέθεν ἦρα
Εἰ δ' ἓν ἀντιλάβοις, πάντως ἰσότητα φυλάξεις
Εἰπὲ τὸ μέτρον ἄριϛε γεωμετρίης ἐπιΐϛορ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΖΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# Ἐπιδιορθώσεις.

| Σελ. | στίχ. | ἀνάγν. |
|---|---|---|
| 2 | 8 | τέχνημα· πανταχοῦ. |
| 4 | 20 | ἐνάργεια |
| 12 | 3 | αἰσθανθῆν |
| 27 | 23 | σπουδάζοντάς την |
| 37 | 17 | σαφ... ἐνάργειαν |
| 38 | 18 | ἐσπούδασαν |
| 41 | 21 | καταδέχομάσθε |
| 48 | 10 | κατάχρησιν |
| 50 | 24 | ὠνομάσθησαν |
| 95 | 7 | εἰς τὸν |
| 97 | 24 | ἤθελαν |
| 105 | 19 | παύει |
| 109 | 13 | ζητήματα |
| 164 | 24 | μὰ δὲν |
| 177 | 23 | ἐπενόησε |
| 183 | 14 | αὐτὴ |
| 203 | 2 | ἀνωτέρω |
| 237 | 14 | ἔννοιαι |
| 247 | 25 | ἀντιστρέφει |
| 262 | 14 | εὔλογον |
| 264 | 5 | κατεποφθαλμιάζωνται |
| 271 | 27 | ὅτι τὸ ἔμψυχον κατηγορεῖτε εἰς τὸ ζῶον, καὶ ὅτι τὸ ζῶον κατηγορεῖται εἰς τὸν ἄνθρωπον, χωρὶς.... |
| 289 | 16 | μὴ περιττὸς |
| 296 | 20 | ἆρα |
| 300 | 11 | φιλεῖς. |
| 308 | 23 | κομήτην· πανταχοῦ. |
| 313 | 20 | ἰχνὴν |
| 323 | 10 | ἤλεκτρα |
| 327 | 4 | μεταδιδόαμεν |
| 329 | 20 | ἀπλουστάτη |
| 330 | 26 | ἐν τῇ |
| 332 | 17 | παραδειγματικοὺς |
| — | 26 | ἢ |
| 333 | 16 | ὅσα |
| — | 21 | ἀνομοιομερειῶν |
| 335 | 1 | πανταχοῦ |
| — | — | ἐπικρατούσης. |
| 336 | 8 | κλαίουσ' |

*Περὶ δὲ ἑτέρων παροραματίων εἴη μοι ὁ ἀναγνώστης μὴ βαρὺς δικαστής.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006